eul_wid: dqg-ac

*Ἱππίας ὁ Ἠλεῖος* · Hippias of Elis

# On the Compilation of Knowledge

*Ἀποσπάσματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic
**Domain:** *Ῥητορική* Oratory
**Format:** *Συναγωγή* Collection

1a,6,F 1 SCHOL. APOLL. RHOD. III 1179: Ἱππίας δὲ ὁ Ἠλεῖος ἐν Ἐθνῶν Ὀνομασίαις φησὶν ἔθνος τι καλεῖσθαι Σπαρτούς· καὶ ὁμοίως Ἀτρόμητος (VI).

1a,6,F 2 PLUTARCH. Num. 1: τοὺς μὲν οὖν χρόνους ἐξακριβῶσαι χαλεπόν ἐστι, καὶ μάλιστα τοὺς ἐκ τῶν Ὀλυμπιονικῶν ἀναγομένους, ὧν τὴν ἀναγραφὴν ὀψέ φασιν Ἱππίαν ἐκδοῦναι τὸν Ἠλεῖον ἀπ’ οὐδενὸς ὁρμώμενον ἀναγκαίου πρὸς πίστιν.

1a,6,F 3 ATHENAI. XIII 608 F: ἐπὶ κάλλει δὲ ... διαβόητοι γεγόνασι γυναῖκες Θαργηλία ἡ Μιλησία, ἥτις καὶ τεσσαρεσκαίδεκα ἀνδράσιν ἐγαμήθη, οὖσα καὶ τὸ εἶδος πάνυ καλὴ καὶ σοφή, ὥς φησιν Ἱππίας ὁ σοφιστὴς ἐν τῶι ἐπιγραφομένωι Συναγωγή.

1a,6,F 4 CLEMENS ALEX. Strom. VI 15, 1 p. 434, 21 Stäh: Ἱππίαν τὸν σοφιστὴν τὸν Ἠλεῖον ... παραστησώμεθα ὧδέ πως λέγοντα· « τούτων ἴσως εἴρηται τὰ μὲν Ὀρφε ῖ , τὰ δὲ Μουσαίωι κατὰ βραχὺ ἄλλωι ἀλλαχο ῦ , τὰ δὲ Ἡσιόδω ι , τὰ δὲ Ὁμήρω ι , τὰ δὲ τοῖς ἄλλοις τῶν ποιητῶ ν , τὰ δὲ ἐν συγγραφαῖ ς , τὰ μὲν Ἕλλησ ι , τὰ δὲ βαρβάροις · ἐγὼ δὲ ἐκ πάντων τούτων τὰ μέγιστα καὶ ὁμόφυλα συνθεὶς τοῦτον καινὸν καὶ πολυειδῆ τὸν λόγον ποιήσομα ι».

1a,6,F 5 DIOG. LAERT. I 24: Ἀριστοτέλης (De an. I 2 p. 405 a 19) δὲ καὶ Ἱππίας φασὶν αὐτὸν (sc. Θαλῆν) καὶ τοῖς ἀψύχοις μεταδιδόναι ψυχῆς τεκμαιρόμενον ἐκ τῆς λίθου τῆς μαγνήτιδος καὶ τοῦ ἠλέκτρου.

1a,6,F 6 HYPOTH. SOPHOKL. O R: ἴδιον δέ τι πεπόνθασιν οἱ μεθ’ Ὅμηρον ποιηταὶ τοὺς πρὸ τῶν Τρωικῶν βασιλεῖς τυράννους προσαγορεύοντες, ὀψέ ποτε τοῦδε τοῦ ὀνόματος εἰς τοὺς Ἕλληνας διαδοθέντος, κατὰ τοὺς Ἀρχιλόχου χρόνους, καθάπερ Ἱππίας ὁ σοφιστής φησιν. Ὅμηρος γοῦν τὸν πάντων παρανομώτατον Ἔχετον βασιλέα φησὶ καὶ οὐ τύραννον‘ ‘εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα‘ (Od. ς 85). προσαγορευθῆναι δέ φασι τὸν τύραννον ἀπὸ τῶν Τυρρηνῶν· χαλεποὺς γάρ τινας περὶ ληιστείαν τούτους γενέσθαι.

1a,6,F 7 PLUTARCH. Lyk. 23: αὐτὸν δὲ τὸν Λυκοῦργον Ἱππίας μὲν ὁ σοφιστὴς πολεμικώτατόν φησι γενέσθαι καὶ πολλῶν ἔμπειρον στρατειῶν ... ὁ δὲ Φαληρεὺς Δημήτριος (IV) οὐδεμιᾶς ἁψάμενον πολεμικῆς πράξεως ἐν εἰρήνηι καταστήσασθαι τὴν πολιτείαν.

1a,6,F 8 PROKL. in Eukl. p. 65, 11 Friedl.: μετὰ δὲ τοῦτον (sc. Θαλῆν) Μάμερκος ὁ Στησιχόρου τοῦ ποιητοῦ ἀδελφὸς ὡς ἐφαψάμενος τῆς περὶ γεωμετρίας σπουδῆς μνημονεύεται, καὶ Ἱππίας ὁ Ἠλεῖος ἱστόρησεν ὡς ἐπὶ γεωμετρίαι δόξαν αὐτοῦ λαβόντος.

1a,6,F 9 SCHOL. ARAT. 172 p. 369, 24 M: Θαλῆς (1 B 2 Diels) μὲν οὖν δύο αὐτὰς (sc. τὰς Ὑάδας) εἶπεν εἶναι ...· Εὐριπίδης ... (F 780) τρεῖς· Ἀχαιὸς (F 46) δὲ τέσσαρας· Μουσαῖος (67 B 18 Diels) ε · Ἱππίας δὲ καὶ Φερεκύδης (3 F 90) ἑπτά.

1a,6,F 10 SCHOL. (EUST.) DION. Per. 270: Ἱππίας μέντοι φησὶν ἀπὸ τῶν Ὠκεανοῦ θυγατέρων· δύο γὰρ Ὠκεανίδας πρότερον γενέσθαι, Ἀσίαν καὶ Εὐρώπην, ἀφ' ὧν τὰς χώρας εἰρῆσθαι.

1a,6,F 11 SCHOL. PINDAR. P IV 288 a: ταύτην (sc. τὴν Φρίξου μητρυιάν) δὲ ὁ μὲν Πίνδαρος ἐν Ὕμνοις (F 49) Δημοδίκην· Ἱππίας δὲ Γοργῶπιν· Σοφοκλῆς ἐν Ἀθάμαντι (p. 131 N 2 ) Νεφέλην· Φερεκύδης (3 F 98) Θεμιστώ.

1a,6,F 12 ——N VII 53: τέσσαρας δὲ ἀναγράφει τὰς Ἐφύρας· πρώτην μὲν τὴν αὖθις Κόρινθον ὀνομασθεῖσαν (Il. Z 152) ...· ἑτέραν δὲ τὴν περὶ Θεσσαλίαν (Od. α 259) ...· τρίτην δὲ περὶ Ἦλιν, ἧς Ἱππίας μνημονεύει· τετάρτην τὴν ἐν Θεσπρωτοῖς.

1a,6,F 13 VIT. HOM. ROM. p. 30, 27 Wil.: Ἱππίας δ' αὖ καὶ Ἔφορος (II) Κυμαῖον (sc. γεγονέναι φασὶ τὸν Ὅμηρον).

Eulogikon public reading copy · View original HTML at eulogikon.org